Σὺ εἰ ἠθέλησας τυχεῖν, ἀπόταξαι τῇ ἡδονῇ· καὶ ἐγκρα-
τείαν καὶ ἀσκήσιν ἀναλαβοῦ, σωθήσει ἐκ τῆς πορείας:
Ἰδοὺ ἀπάθεια, διάκρισις ἀληθινή· καθὼς τὴν πρά-
ξει, μέτρῳ καὶ κανόνι: Ὁ νοῦς ἡ μονὴ καὶ θρόνος Ἰησοῦ
ἐστὶν ὁ Χριστοῦ· καὶ νοῦς ὁ ἀπελευθερωθεὶς αὐτῶν, οὐ μὴ μα-
κάριος εὐτυχήσει ποτέ: Συνάγαγε τὸν νοῦν σου, καὶ τήρει τοὺς
λογισμούς, καὶ οἷς εὑρεθῇς μὴ πειθαρχεῖν· πολέμει
πρὸς αὐτούς: Τρία ὑπάρχουσι πραγμάτων δι' ὧν
λαμβάνεις λογισμούς· ἡ αἴσθησις· καὶ ἡ μνήμη·
καὶ ἡ κρᾶσις τοῦ σώματος· χαλεπώτεροι δὲ οἱ ἀ-
πὸ τῆς μνήμης εἰσίν: Θεῖ εἰ δὲ θέλεις σοφίαν, ἐπίγνωθι λόγον ἀ-
σωμάτων· καὶ τίς ἡ ἀρχὴ ὑπάρχει καὶ τί τὸ τέλος τοῦ κόσμου:
Μὴ ἀμέλει πρακτικῆς, καὶ φωτισθήσεται ὁ νοῦς σου.
θησαυροὺς φησὶν ἀοράτους, ἀποκρύφους ἀνοίξω σοι:
Εὗρε χάριν θεοῦ, ὁ παθῶν ἐλευθερωθείς· καὶ τὸ
μέγα ἔλεος ὁ γνώσεως θείας ἀξιωθείς: Νοῦς παθῶν
ἐλευθερωθείς, φωτοειδὴς γίνεται· ταῖς τῶν ὄντων
θεωρίαις, ἀδιαλείπτως καταλαμπόμενος:
Φέγγος ψυχῆς, ἡ ἀληθινὴ γνῶσις ἐστίν· οὗ στερηθεὶς ὁ ἄ-
φρων, ὡς ἐν σκότει διαπορεύεται: